pro a Reinach

S. G. MERCATI

# INTORNO

A

# ΜΙΧΑΗΛ ΓΡΑΜΜΑΤΙΚΟΣ

## Ὁ ἹΕΡΟΜΟΝΑΧΟΣ

Estratto dal *Bessarione* Rivista di Studi Orientali

ROMA
TIPOGRAFIA PONTIFICIA NELL' ISTITUTO PIO IX
(ARTIGIANELLI DI S. GIUSEPPE)

1917

Bibliothèque Maison de l'Orient
150820

Bibliothèque SALOMON REINACH

# INTORNO A
# ΜΙΧΑΗΛ ΓΡΑΜΜΑΤΙΚΟΣ 'Ο 'ΙΕΡΟΜΟΝΑΧΟΣ

Sotto questo titolo il compianto bizantinologo A. Papadopulos-Kerameus pubblicò nella *Byzantinische Zeitschrift* 20 (1911) pag. 131-135 tre poesie di Michele grammatico e ieromonaco (¹), che egli identifica senz'altro con Michele Glica, su copia o fotografia di codici Vaticani fornitagli dal P. Aurelio Palmieri.

Ma, come può facilmente accadere quando si lavora su schede altrui e non c'è agio di verificare, il Papadopulos-Kerameus è incorso in inesattezze ed omissioni, che credo opportuno siano qui rilevate.

*A*) La poesia I[a] (Νῦν πένθιμον στάλαξον, οὐρανέ, δρόσον) non si trova affatto nel cod. Vaticano greco 1357, fol. 81, bensì nel cod. Palatino greco 367, fol. 140[v]: cfr. STEVENSON, *Codices manuscripti Palatini graeci Biblioth. Vatic.*, pag. 233. La segnatura Vatic. 1357, fol. 81 non si riferisce a Μιχαὴλ 'Ιερομόναχος, ma a Μιχαὴλ ὁ Καλαφάτης (²), che nell'*Index auctorum et materiarum Codd. Mss. Graecorum,* Tom. II, segue immediatamente. È quindi probabile che l'errata indicazione derivi dallo scambio tra i due Μιχαὴλ nello spoglio dell'*Index*.

Nell'edizione la poesia finisce col verso 36 τῶν ποιμεναρχῶν καὶ μοναστῶν τὸ κλέος; invece nel cod. Palatino continua senza interruzione per altri 40 versi, che contengono un'apostrofe al metropolita di Efeso a nome del defunto. L'editore ha forse creduto che coll'invocazione 'Αλλ'ὦ φαεινὲ λύχνε τῆς ἐκκλησίας cominciasse una nuova poesia, un altro argomento: però dai versi che seguono si riconosce subito la intima connessione con i precedenti (τὸν κείμενον νόμιζε ταῦτά σοι λέγειν). Inoltre se si trattasse realmente di due poesie distinte, nel codice sarebbero indicati sia la fine della prima con + o :∾, sia

(¹) KRUMBACHER, *Geschichte der byzantinischen Literatur²*, pag. 786.

(²) O meglio, si riferisce alla poesia intorno a Michele Calafato, anonima nel codice palatino e ricordata come tale da KRUMBACHER l. c., ma che dal Rocchi e dal Kurtz è stata riconosciuta come opera di Cristoforo Patricio.

l'inizio della seconda con maiuscola rubricata fuori linea, come si osserva dal confronto colle poesie contenute nei fol. 131-148.

*B*) La poesia II$^{a}$ in versi politici (Ὢ πῶς ἀγνώμων γέγονα καὶ δόλιος οἰκέτης), ricavata dal cod. Vat. gr. 578 ha nell'edizione una lacuna di 17 versi tra il v. 36 e 37 ed alcuni errori di trascrizione (ad es. ai vv. 10-11, 24, 54-55).

*C*) La poesia III$^{a}$, alfabeto in versi politici (Ἄνθρωπος πέφυκας θνητός, εὐμάραντος τῇ φύσει), non si legge nel cod. Vat. 578, sibbene nei codici Barberini greci 41, fol. 110$^{v}$-111$^{r}$ e 551, fol. 25, entrambi del secolo XVII.

Per queste considerazioni mi parve giustificata la presente ristampa delle tre poesie rivedute sui codici.

SILVIO GIUSEPPE MERCATI.

## I.

## Στίχοι Μιχαὴλ γραμματικοῦ εἰς τὸν Ἐφέσου ἐλθόντα καὶ εὑρόντα τὸν Λυκολέοντα νεκρόν.

Νῦν πένθιμον στάλαξον, οὐρανέ, δρόσον·
νῦν, ἡλίου φῶς, ἀλλάγηθι πρὸς ζόφον·
νῦν καὶ θάλασσα κυματούσθω σὺν γόῳ·
νῦν καὶ ποταμοὶ ῥευσάτωσαν δακρύων·
† ὁ πάντα † δεικνύσθωσαν οἰμωγῆς πλέα
τὸ κοινὸν ὠφέλημα τοῦ παντὸς βίου,
τὸν ὑψίνουν νοῦν, τὸ φρονήσεως βάθος,
τὸν δεινὸν εὑρεῖν ἐξ ἀμηχάνων πόρον, | fol. $141^r$
τὸν πᾶσαν αὐτὴν τὴν ὑφ᾽ ἡλίῳ κτίσιν
θέατρον αὐτῷ τοῦ κλέους ἐσχηκότα,
τὴν ψυχαγωγὸν τῶν στεναζόντων χάριν,
τὸν ἀφθόνως ῥέοντα κρουνὸν τὰς δόσεις,
τὸν τοῖς πλέουσιν οὐ κατ᾽ εὐχὰς τὸν βίον
ὅρμον γαληνὸν ἐκ φιλανθρώπου τρόπου,
τὸν φρικτὸν ἐχθροῖς, τὸν βέβαιον τοῖς φίλοις,
τὸν ἠρέμα πλήττοντα τοὺς ὑπευθύνους,
αὖθις δὲ πραΰνοντα ταῖς εὐποιΐαις
καὶ πραότητι μιγνύοντα τὸν φόβον,
Λέοντα Βέστον, τὸν μέγιστον, τὸν πάνυ,

I. C = Palat. gr. 367 fol. $140^v$-$141^r$.

[4] καὶ] δὲ Ed.

[5] ὁ πάντα sic C: ὦ πάντα Ed. Malim ἅπαντα vel νῦν πάντα.

[8] εὑρεῖν scripsi cum Ed.] ἐφευρεῖν C.

[9] τὸν πᾶσαν sic cod., non τὴν πᾶσαν ut adnotat Ed.

[12] ἄφθονον perperam Ed.

[19] Βεστόν Ed. De Leone Besto extat Epigramma anonymum in eodem codice Palat. gr. 367 fol. $143^r$:

Ναοῦ τὸ κάλλος καὶ τὸ φαιδρὸν καὶ ξένον
βλέπων, θεατά, βλέψον εὐθὺς καὶ τάφον
τοῦ δημιουργοῦ τῶνδε τῶν ὁρωμένων
Βέστου Λέοντος, ὅνπερ οὐ κρύψει χρόνος.

νῦν κείμενον βλέποντα — φεῦ πικροῦ πάθους —
ἔρημον εἰς γῆν, νεκρὸν ἠλεημένον,
θέαμα δυσθέατον ἐν βραχεῖ λίθῳ.
οὐκ ἔστιν οὕτω στερρὸς ἀνθρώπου φύσις
— συγχρήσομαι γὰρ τῇ σοφῇ τραγῳδίᾳ —
ἢ μὴ κατηφήσειε, μηδὲ στυγνάσοι
τοῦτον μὲν οἰκτείρουσα δυστυχοῦς τέλους,
ἡμᾶς δὲ δακρύσουσα τῆς ἐρημίας,
οἱ παῖδες οἷα πατρὸς ὠρφανισμένοι,
σκυθρωπόν, οἰκτρὸν ἕλξομεν πάντα βίον,
θρήνων ἀφορμὴ τῷ βίῳ λελειμμένοι,
πρὸς οἶκτον ἡμῶν ἐκκαλούμενοι μόνους,
ὅσοις λογισμός ἐστι τῶν ἀνθρωπίνων
καὶ τὸν φίλον σῴζουσιν ἠκριβωμένον,
ὁποῖον ἡμῖν νῦν ἑαυτὸν δεικνύει
ὁ τῆς Ἐφέσου κλεινὸς οἰακοστρόφος,
τῶν ποιμεναρχῶν καὶ μοναστῶν τὸ κλέος.
ἀλλ᾽ὦ φαεινὲ λύχνε τῆς ἐκκλησίας,
τὸν κείμενον νόμιζε ταῦτά σοι λέγειν·
« Ἔδρασας ὡς πρέποντα τῷ σαυτοῦ τρόπῳ,
ἔδειξας ὡς εἶ τοῦ θεοῦ πρέπων λάτρης,
ἐμνημόνευσας μνημονεύειν ὧν ἔδει,
εἴληφας εἰς νοῦν ὡς πᾶς ὁ θνητῶν βίος
εἰς τοῦτο λήξει τοῦτο τὸ στυγνὸν τέλος·
ὥρμησας ἐλθεῖν ζῶντος εἰς ὄψιν φίλου·
οὐκ ἔσχες εὑρεῖν τῆς προθυμίας τέλος·
ἔφθη γὰρ ἡμᾶς τὸ χρεὼν προαρπάσαν.
ἤλγησας, ὠλόλυξας, ὠδύρου σφόδρα,
ἔπειπερ ᾔσθου μηκέτ᾽ ὄντα τὸν φίλον.
πλὴν οὐκ ἀπηξίωσας οὐδὲ τὴν κόνιν

23 EURIPID. *Hecub.* v. 296.
27 ἡμᾶς δὲ] ἢ μηδὲ — οἱ παῖδες Ed.
37-76 om. Ed.
42 βίος scripsi] βία C: βίᾳ Ed.

βλέψαι προσελθὼν συμπαθῶς τε δακρῦσαι.
ἀλλ' ἧκες, εἶδες τὸν τοσοῦτον τὸ κλέος·
ὁρᾷς ὁποίῳ συγκεκραμένον τάφῳ.
εὕραιο μισθὸν ἀνθάμιλλον τῶν πόνων,
ὄναιο τῆς σῆς εὐτυχῶς προεδρίας.
καὶ γὰρ πόθον βέβαιον, οὐκ ἐψευσμένον
ἄριστα καιρὸς ἐξελέγχει τοῦ τέλους,
καὶ τοῦτον ἄν τις προσφυῶς φαίη φίλον,
ὅς ἐστιν εὔνους καὶ θανοῦσι τοῖς φίλοις.
οἶδας γὰρ οἷος αὐτὸς ἦν πρὸ τοῦ τέλους,
ὡς φωσφόρος τις ὀξύτητι καὶ τάχει | fol. 141r
καὶ φύσεως μάλιστα τῷ δραστηρίῳ
ἅπασαν εἰς γῆν μακρὸν ἐκπέμπων σέλας
γνώμης ⟨ * * * ⟩ καὶ σοφῆς εὐβουλίας.
τὰ μὲν παλαιὰ ταῦτα καὶ τὰ νῦν σκόπει,
ἢ μᾶλλον εἰδὼς ἵλεών μοι τὴν δίκην
τίθει προσευχαῖς καὶ ῥοαῖς τῶν δακρύων,
ναὶ χεῖρας αἴρων ἐκτενεῖς καθ' ἡμέραν.
καὶ πνεύμασι πνέουσι πίστευε πλέον,
ἢ γράμμασι μάλιστα τοῖς καθ' ὑδάτων,
ἢ τῇ δοκούσῃ τῶν βροτῶν εὐπραξίᾳ.
καὶ ταῦτα, χρηστέ, καὶ λογίζου καὶ φρόνει,
καὶ πεῖθε πάντας τὰς σκιὰς παρατρέχειν
καὶ μικρὰ φροντίζειν γε τῶν ὀνειράτων.
καὶ χαῖρε μοι, γῆ, χαῖρε δ' ἡλίου φάος,
αὐτός τε χαῖρε, τῶν προέδρων τὸ κλέος,
καὶ τήνδε τὴν πρόρρησιν ἐσχάτως δέχου ».

63 lacunam indicat etiam C. Ἀγαθῆς, vel καλῆς τε, vel quid simile supplendum.

68.71 cfr. GREG. NAZIANZ. *Orat. 17* Migne P. G. 35, 972 A : ὡς αὔραις εἶναι μᾶλλον πιστεύειν καὶ γράμμασι τοῖς καθ'ὕδατος ἢ ἀνθρώπων εὐημερίᾳ et *Paroemiogr. gr.* I pag. 267.

74 cfr. AESCHYLI *Agam.* v. 508.

## II.

## Στίχοι Μιχαὴλ ἱερομονάχου πολιτικοί.

Ὢ πῶς ἀγνώμων γέγονα καὶ δόλιος οἰκέτης
φενακισθείς, ἀπατηθεὶς ὑφ' ἡδονῶν ἀτόπων
θεοστυγέσι συμβουλαῖς ἐχθροῦ τοῦ μισανθρώπου·
καὶ πᾶσαν πρᾶξιν μυσαρὰν ἀφρόνως εἰργασάμην,
μὴ τρέσας ὅλως ἀπειλὴν θεοῦ τοῦ φιλανθρώπου,
μὴ φοβηθεὶς τὴν γέενναν καὶ πτήξας τὰς βασάνους.
ἐντεῦθεν βδελυξάμενος ὁ φύλαξ τῆς ψυχῆς μου
τὰς ἐπαχθεῖς καὶ δυσειδεῖς καὶ βλαπτικάς μου πράξεις
κατέλιπεν ἐν μέσῳ με τῆς ζάλης τῶν πταισμάτων
ὡς φυλακῆς ἀνάξιον καὶ πάσης συμμαχίας.
καὶ νῦν ὁ κλύδων τῶν παθῶν ποντοῖ καὶ καταιγίζει
τὴν τῆς ψυχῆς μου κιβωτὸν καὶ τέλειον βυθίζει·
ἐγὼ δὲ βυθιζόμενος εὐφραίνομαι καὶ χαίρω
καὶ συνωθῶ μου τὴν ψυχὴν πρὸς βάθος ἀνομίας.
ὢ πόσων γόων ἄξιος καὶ πλείστων ὀδυρμάτων
ὁ δύστηνος, ὁ πάντολμος ἐγὼ τυγχάνω, φεῦ μοι· | fol. 204ᵛ
ὄρη καὶ νάπαι καὶ βουνοὶ καὶ ξύλα καρποφόρα,
θρηνήσατε, πενθήσατε τὴν σκοτεινὴν ψυχήν μου·
εἰς ἄντλον γὰρ ἀλίμενον ἐνέπεσον ὁ τάλας,
καὶ τὴν ὁλκάδα τῆς ψυχῆς ἐπόντωσα βιαίως
ὀλέθριον ὀλέθριον κακὸν γεγενημένην·
αἱ δρακοντώδεις δ' ἡδοναὶ παθῶν τῶν πολυπλόκων
ὡς ἔλλοπες ἀνήμεροι κατέφαγον ἀπλήστως
τὴν ταπεινὴν καρδίαν μου, τυφλώσαντες τὸν νοῦν μου.
ἡ δὲ ζωή μου κόπτεται τῷ ξίφει τῷ τοῦ χρόνου,
κἀγὼ τὴν πολυστένακτον περιπλακεὶς κακίαν
ἔργα νυκτὸς ἀποπληρῶ μὴ θέλων ἀνανῆψαι,

II. Ex Cod. Vat. gr. 578 fol. 204.
10 φύλακος perperam Ed.
11 πόντος perperam Ed.: cfr. v. 20.
12 ἐγὼ δὲ (i. e. initium versus sequentis) erasum ante τὴν Cod. | τέλεον Ed.
17 cfr. Psalm. 149, 9.
19-21 cfr. EURIP. *Hecub.* vv. 1025-31.
24 τὸν νοῦν μου] ἀπταίστως perperam Ed.

ἐξ ἡδονῶν εἰς ἡδονὰς συχνάκις μεταβαίνων,
ἐὸν κακὸν ἐπιποθῶν· τῆς ἀνομίας ὅση.
ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν ταχεῖαν,
χρυσοκολλήτοις ἅρμασιν ἐμβεβηκὼς ὡς γίγας
ἵπποισιν, Ἥλιε, θοαῖς τὴν σὴν εἰλίσσων φλόγα,
μὴ καύσῃς με τὸν σύνδουλον ταῖς φλογεραῖς ἀκτῖσιν | fol. 205r
ὁρῶν τὴν ἀβουλίαν μου καὶ τὰς κακάς μου πράξεις.
ἀλλ' ἄντομαί σε, σύνδουλε, χρυσόπτερε, φωσφόρε
θεοῦ πατρὸς οἰκτίρμονος, τοῦ κτίστου τῶν ἁπάντων,
μακροθυμίαν μίμησαι καὶ σχάσον τὴν ὀργήν σου.
ἐπελαθόμην φύσεως ἐμῆς ὁ τολμητίας
καὶ θάνατον οὐ δέδοικα τὸν πάντα δαπανῶντα,
πᾶσαν αἰσχρὰν καὶ μυσαρὰν ἀποτελῶν κακίαν.
ἐχθρὲ πανώλη, πονηρέ, καὶ δράκων ὠμοφάγε,
τί με πλανᾷς τὸν δείλαιον καὶ θέλγεις τοῖς προσκαίροις;
ἔφαγες, ἔπιες πολλοὺς ἐμπλήσας γαστέρα·
ἔσχες πολλοὺς ὁμόφρονας πυρὶ συγκαταδίκους·
κορέσθητι καὶ πλήσθητι, παμφάγε ψυχοφθόρε
ἄφες ἐμὲ τὸν τάλανα μετανοῆσαι μόλις.
ἐπιτιμῆσαι σοι Χριστὸς ὁ κραταιὸς δεσπότης
καὶ τὰς δολίας πάγας σου συντρίψαι καὶ τὰς ἄρκυς.
ἐπίστρεψον, ἐπίστρεψον, ταλαίπωρε ψυχή μου, | fol. 205v
καὶ στέναξον καὶ δάκρυσον ἀπὸ καρδίας ἤδη,
ἵν' ὁ ληστὴν καὶ Μανασσὴν καὶ πόρνην καὶ τελώνην
μετανοήσαντας θερμῶς ἐκ βάθους τῆς καρδίας
οἰκτείρας ὡς φιλάνθρωπος καὶ μόνος ἐλεήμων
τῶν χαλεπῶν πτωμάτων σε ποσῶς ἐλευθερώσῃ,
καὶ ζήσῃς τὴν ἀνώδυνον ζωὴν τὴν μακαρίαν.
ναί, σῶτερ, οὕτω γένοιτο, μετὰ δακρύων λέγω.

30-32 EURIP. *Phoenissae* vv. 1-3.
vv. 37-53 om. Ed.
41 Quod vocativum πανώλη pro -ες attinet, cfr. HATZIDAKIS, *Einleitung in die neugriechische Grammatik* pag. 77, 380 et JANNARIS, *Historical Greek Grammar* § 427b, 432.
54 με ποσῶς ἐλευθερῶσαι Ed.
55 ζώσῃς Ed.

## III.

Στίχοι κατ᾽ ἀλφάβητον · ποίημα Μιχαὴλ Ἱερομονάχου.

Ἄνθρωπος πέφυκας θνητός, εὐμάραντος τὴν φύσιν.
Βλέπε τὴν κτίσιν ὑγιῶς, μή σου κρατήσῃ κτίσις.
Γέφυραν βίου τρομερὰν περᾷς ἐπικινδύνως.
Δάμαζε σῶμα τὸ θνητόν, ὡς ἂν περᾷς ευκόλως.
Ἐχθροὺς ἀπείρους κέκτησαι δολίους καὶ πανούργους
Ζητοῦντας σφάξαι τὴν ψυχὴν τὴν σήν, ἀλλὰ γρηγόρει.
Ἡ τῶν βρομάτων πλησμονὴ καὶ τῶν πομάτων τέρψις
Θωπεύουσι τὸν λάρυγγα, δουλοῦσι τὴν κοιλίαν,
Ἰὸν παθῶν ψυχόλεθρον ἐμοῦσι τῇ καρδίᾳ.
Καθέζου τοίνυν εὐλαβῶς ὡς ἄνθρωπος ἐσθίων,
Λάβε τὸν ἄρτον ἐν χερσὶν καὶ δόξαζε τὸν δόντα.
Μέθῃ σαυτὸν μὴ παραδῷ τῇ θυγατρὶ τῆς βδέλλης ·
Νέφος γὰρ αὕτη σκοτεινὸν τυγχάνει τῇ καρδίᾳ.
Ξένιζε ξένους συμπαθῶς, ὁ ξένος παραδείσου ·
Ὁ γὰρ τοὺς ξένους παρορῶν θεὸν παραπικραίνει.
Προστάτης γίνου τῶν χηρῶν, πατὴρ τῶν ὀρφανῶν τε.
Ῥῆμα μὴ ῥήξῃς βλάσφημον δι᾽ ἔλλειψιν βρωμάτων ·
Στέργε δὲ μᾶλλον τὰ μικρά, κἂν ὦσιν οὐκ ἀρκοῦντα.
Τούτῳ τῷ τρόπῳ γὰρ θεῷ εὐφράνῃς εὐχαρίστως.
Ὑπερδυσώπει τὸν θεὸν ἀπὸ καρδίας μέσης
Φαιδρῦναι καὶ χορτάσαι σε τοῦ πνεύματος τῇ βρώσει·
Χορτάσματα γὰρ σώματος εἰς ὕβριν καταντῶσιν.
Ψάλλε καὶ γέραιρε θεὸν εἰς πᾶσαν τὴν ζωήν σου,
Ὡς ἂν εὑρήσῃς τὴν ζωὴν ἐκείνην τὴν ἀγήρω.

III. B = Barber. gr. 41 (I. 41) fol. $110^v$-$111^r$ Tit. Μιχαὴλ ἱερομονάχου περὶ ἀνθρώπου.

B¹ = Barber. gr. 55: (V. 47) fol. 25. Tit. ut in textu.

1 πέφυκε B.

8 θωπέσουσι B.

10 ἀβλαβῶς B. ἐβλαβῶς B¹.

12 βδέλλας Ed.

18 ἀρκούνται B¹ et Petropol. 248 ab Ed. conlatus.

19 θεὸν B.

Ἀλλ᾿ ὦ παντάναξ ἀγαθὲ καὶ κτίστα τῶν ἁπάντων,
φιλάγαθε, φιλεύσπλαγχνε Χριστέ μου παντοκράτορ,
τῶν σῶν ἁγίων ταῖς εὐχαῖς καὶ πάντων τῶν δικαίων
εὐλόγησον τὴν τράπεζαν ἡμῶν τῶν οἰκετῶν σου,
καὶ πᾶσαν τὴν αὐτάρκειαν χορήγει καθεκάστην
ὡς ἂν ὑμνοῦμεν, δέσποτα, τὸ κράτος σου τὸ μέγα.

[26] φυλάγαθε $B^1$ cum Petropol.

[30] ὑμνοῦμεν codd.: ὑμνῶμεν Ed. Sed confer JANNARIS § 850 ss., BLASS-DEBRUNNER § 369, 6; 90 s.